# TEZAUR LITURGIC

**9 MAI**

**HARALAMBOS BOUSIA**

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# NICOLAE
# DE LA
# VUNENA

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 09 Μαΐου

# Ἀκολουθία Ὁσιομάρτυρος

# ΝΙΚΟΛΑΟΥ τοῦ ἐν Βουνένοις

**Ποίημα Δρ. Χαραλάμπους Μπούσια**

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Προσόμοια τοῦ Ἁγίου Νικολάου γ΄. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, τῶν Ἀράβων αἱ ὀρδαί, ὥσπερ τῶν ἀκρίδων τὰ σμήνη, ἐν ὥρᾳ τοῦ θερισμοῦ, Θετταλοῖς ἐπέπεσον, καὶ πᾶσιν ὄλεθρον, τοῖς χωρίοις ἐπήνεγκον, αὐτὰ πυρπολοῦντες, τότε καὶ ὁ Ἅγιος, Μάρτυς Νικόλαος, δοὺξ ὤν τῆς Λαρίσης θεόφρων, ἐναθλῆσαι προὔτρεπε πάντας, ἵνα στέφος δόξης ἀπολαύσωσιν.

Ὅτε, ἐν Τυρνάβῳ ἡ σεπτή, καὶ πανευκλεὴς συνοδεία, τοῦ Νικολάου φαιδρῶς, παννυχὶ προσηύχετο, τῷ Παντοκράτορι, ἀναμένουσα ἔφοδον, ἐχθρῶν παρανόμων, τότε τῆς ἀθλήσεως, μήνυμα ἔλαβεν, ἐκ τῶν τοῦ Ἀγγέλου χειλέων, τοῦ σταλέντος ταύτῃ ἐξ ὕψους, προμηνῦσαι δόξαν τὴν αἰώνιον.

Ὅτε, τῆς ἀθλήσεως καιρός, τοῦ στεῤῥοῦ ὁπλίτου ἐπέστη, ἐν τοῖς Βουνένων δρυμοῖς, ἔνθα ἠγωνίζοντο, ἀζύγων τάγματα, καὶ ἀπαύστως προσηύχοντο, τῷ Κτίστῃ τῶν ὅλων, τότε καὶ οἱ Ἄγγελοι, στέφος

ηὐτρέπιζον, δοῦναι τῷ κλεινῷ Νικολάῳ, λήψεσθαι τῷ μέλλοντι λόγχης, τῆς ἰδίας πεῖραν τὴν ἐπώδυνον.

Προσόμοια β΄ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου. Ἦχος α΄. Τῶν οὐρανίων.

Τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος, πᾶσιν ἐκήρυξας, ἀγάπης ὑποθήκῃ, θεολόγων ἀκρότης, τρισμάκαρ Ἰωάννη φίλε Χριστοῦ, ἐπιστήθιε ὅθεν σου, τὴν πανακήρατον μνήμην χαρμονικῶς, ἐτησίως ἑορτάζομεν.

Ἠγαπημένε Κυρίου, φίλε ὑμνοῦμέν σε, τὸν ἐπὶ τοῦ ἀχράντου, τοῦ Παντάνακτος στήθους, πεσόντα καὶ ἀκούσαντα τοὺς σφυγμούς, τῆς ἀδόλου ἀσπίλου τε, καὶ ἀμωμήτου καρδίας Αὐτοῦ λαμπρέ, Ἰωάννη παναοίδιμε.

Καὶ ἕν τοῦ Ὁσίου Ἀρσενίου τοῦ Μεγάλου. Ὅμοιον.

Ὤφθης σοφώτατος κόσμῳ Πάτερ Ἀρσένιε, τὴν θύραθεν παιδείαν, ἀπὸ στήθους κατέχων, καὶ ἔχων ἐστραμμένον ὄντως τὸν νοῦν, πρὸς ζωὴν τὴν οὐράνιον. Διὸ Ἀγγέλων τὸν βίο ἐπὶ τῆς γῆς, ἐμιμήσω τρισμακάριστε.

Δόξα. Τοῦ Ἁγίου Νικολάου. Ἦχος πλ. β’.

Εὐφραίνεσθε Ὀρθοδόξων αἱ χορεῖαι, σκιρτήσατε ἄλση καὶ δρυμοὶ τῆς Ἑλλάδος, τοῦ θεόφρονος Νικολάου, ἐπειγομένου πρὸς μαρτύριον, καὶ ἄληκτον μακαριότητα. Οὗτος γὰρ ἑτοιμάζεται γευθῆναι, τῆς τῶν Ἀράβων ὠμότητος, καὶ πληθὺν τῶν βασάνων καρτερικῶς ὑπομεῖναι, ἵνα μὴ χωρισθῇ τῆς ἀγάπης,

τοῦ Σωτῆρος ἁπάντων Χριστοῦ· ταῖς αὐτοῦ ἱκεσίαις πολυεύσπλαγχνε Κύριε, εἰρήνην τῇ οἰκουμένῃ Σου δώρησαι, καὶ σῶσον τὰς ψυχὰς τῶν τιμώντων ἀπαύστως, τοῦ Ὁσιομάρτυρος μνήμην τὴν ἀκήρατον.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας.

Εἰς τόν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, Ὁσιομάρτυς Χριστοῦ, Ἀνατολῆς περικαλέστατον βλάστημα, Λαρίσης εὐῶδες κρίνον, καὶ τῶν Βουνένων τερπνόν, ἴον ποικιλόχρουν καὶ μυρίπνοον· Ὁσίων ἐντρύφημα, Ἀθλητῶν ἀγαλλίαμα, τῆς Ἐκκλησίας, ὁ στεῤῥότατος πρόβολος, καὶ περίδοξος, τῆς Ἑλλάδος ὡράϊσμα. Σήμερον προεόρτιον, πανήγυριν ἄγοντες, τῆς ἐτησίας σου μνήμην, τὸν Ζωοδότην καὶ Κύριον, λαμπρῶς ἀνυμνοῦμεν, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Χαίροις, Ὁσιομάρτυς Χριστοῦ, τῶν ἀρετῶν ταμεῖον ὄντως ἀσύλητον, ἀνδρείας καὶ θάῤῥους γνῶμον, τῆς προσευχῆς ἐραστά, ἤθους ἐκμαγεῖον καὶ πραότητος, Νικόλαε ἔσοπτρον, ὅθεν πάντες γεραίροντες, σὲ είς αἰῶνας, καὶ τοὺς ἄθλους σου σέβοντες, προεόρτιον, νῦν ἐφύμνιον ᾄδομεν. Πᾶσιν οὖν τὴν σὴν εὔνοιαν, ἡμῖν δεῖξον Ἅγιε, καὶ τὸν Σωτῆρα δυσώπει, ὑπὲρ τῶν πίστει τιμώντων σου, τὴν πάντιμον μνήμην, καὶ τὸν Κτίστην δοξαζόντων, τὸν σὲ δοξάσαντα.

Χαίροις, θεολογίας ὁ νοῦς, τόμε θεόγραφε γραφὶς θεοκίνητε, μελίῤῥυτον θεῖον στόμα, ἀγάπης ὄντως κρηπίς, Ἀποστόλων δόξα καὶ ἀγλάϊσμα. Χριστὸν καθικέτευε, Ἰωάννη θεόπνευστε, σὺν τῷ Ὁσίῳ, Ἀρσενίῳ τῷ μάκαρι, ἀσκητῶν Χριστοῦ, τῷ ἐνθέῳ κοσμήτορι, δοῦναι ἡμῖν τοῖς μέλπουσιν, ὑμῶν τὴν ὑπέρφωτον, καὶ πανσεβάσμιον μνήμην, ἀμπλακημάτων συγχώρησιν, ἀπτόητον πίστιν, καὶ ὑπέρβασιν ἀγάπης, πρὸς βίον κρείττονα.

Δόξα. Ἦχος δ΄.

Λαμπρὰ καὶ πανέορτος προαυγάζει σήμερον, ἡ μνήμη τοῦ Ὁσιομάρτυρος Νικολάου τοῦ Νέου, συγκαλοῦσα ἡμᾶς πρὸς εὐωχίαν μυστικήν, ὁμοῦ μετὰ τοῦ πνευματοκινήτου, Ἀποστόλου τῆς ἀγάπης Ἰωάννου, καὶ τοῦ Ὁσίου Ἀρσενίου τοῦ Μεγάλου. Δεῦτε οὖν φιλέορτοι τιμήσωμεν αὐτούς, καὶ πνευματικῶς εὐφρανθῶμεν, ἐκ τῆς πλουσίας χάριτος αὐτοῖς δοθείσης, αἰτούμενοι τὴν ἀδιάπτωτον αὐτῶν ἐπιστασίαν, καὶ ἀσίγητον αὐτῶν πρεσβείαν πρὸς τὸν Κύριον, ὑπέρ πάντων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε...

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Τοῦ Ἁγίου. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀκεσώδυνον φρέαρ, τοῖς τιμῶσί σε δέδοσαι, πᾶσιν ἀποστάζον εἰρήνης, καὶ ἰάσεων νάματα, ὁπλῖτα ἐξ

Ἑῴας εὐσθενές, Νικόλαε Βουνένων θησαυρέ, Ἀθλοφόρων καὶ Ὁσίων, περιφανὲς κοσμῆτορ, ὅθεν κράζομεν· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ σὲ ἀνύστακτον φρουρόν, ἡμῖν δωρήσαντι.

Εἶτα, τὰ Ἀπολυτίκια τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, τοῦ Ὁσίου Ἀρσενίου καὶ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Προαυγάζει τῷ κόσμῳ ἡ θεία μνήμη σου, ἡ φωταυγὴς καὶ τιμία, ὥσπερ ἀστὴρ ἀπλανής, θεοφόρητε πανένδοξε Νικόλαε. Ταύτῃ οὖν νῦν πανευλαβῶς, προεόρτιον ᾠδὴν προσάγοντες ἐκβοῶμεν· τῇ κραταιᾷ σου πρεσβείᾳ, σκέπε ἡμᾶς καὶ φρούρει πάντοτε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε τοῦ Λόγου σκήνωμα, περιφανὲς ἀνεδείχθης, ὡς ἀληθῶς ἐν γαστρί, οἰκουμένης τὸν δεσπόζοντα χωρήσας· ὅθεν ὡς θρόνον παμφαῆ, τοῦ Κυρίου καὶ Θεοῦ, ὑμνοῦμέν Σε ἐκβοῶντες· ταῖς Σαῖς ἀόκνοις πρεσβείαις, σῷζε τοὺς δούλους Σου ἐκ θλίψεων.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Οἱ δῆμοι τῶν πιστῶν, δεῦτε σπεύσωμεν τάχος, Βουνένων εἰς δρυμούς, προεόρτιον αἶνον, προσάγειν τῷ Μάρτυρι, Νικολάῳ καὶ κράξωμεν· Ὁσιόαθλε, χαῖρε ἡμῶν παραστάτα, ἐν ταῖς θλίψεσι, καὶ ἀντιλήπτορ καὶ ῥῦστα, ἐν βίου τῷ κλύδωνι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θεὸν ἀληθινόν, σωματώσασα Κόρη, τὸ γένος τῶν βροτῶν, ἐκ τοῦ Ἅδου ἐῤῥύσω, τῷ Τόκῳ Σου Ἄχραντε, ὅθεν πάντες τιμῶμέν Σε, ὡς πρωταίτιον, τῆς σωτηρίας τοῦ κόσμου, καὶ βοῶμέν Σοι· χαῖρε Παντάνασσα Μῆτερ, ἡμῶν καταφύγιον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Αἶνον προσάγει προεόρτιον Νικόλαε, τῇ εὐκλεεῖ σου ἐναθλήσει ἡ ὁμύγηρις, τῶν Ἑλλήνων Ὀρθοδόξων καὶ ἀνακράζει· ὡς κληρονόμος τοῦ φωτὸς τοῖς σὲ γεραίρουσι, φῶς οὐρανόθεν Ἀθλοφόρε ἐξαπόστειλον, καὶ τὴν χάριν σου ἐφ' ἡμᾶς πέμψον ἄφθονον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἁγνὴ Παρθένε θλιβομένων παραμύθιον, Ὑψίστου θρόνε καὶ καθέδρα χρυσοποίκιλτε, μὴ ἐλλίπῃς ἱκετεύειν σὺν Ἀρσενίῳ, τῷ Ὁσίῳ ὑπὲρ πάντων τῶν ὑμνούντων Σε, καὶ Ἰωάννη θεολόγῳ τῷ κοσμήτορι, ἵνα κράζωμεν· χαῖρε Νύμφη Ἀνύμφευτε.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσε ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Μάρκον (η΄ 34, θ΄ 1).

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις, Ἐλεῆμον...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...

Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Ὡς ἀδάμας στεῤῥός, ὑπομείνας τὰς βασάνους γενναίως, καὶ λογχευθεὶς πλευράν σου τὴν ἀκήρατον, μιμούμενος ἡμῶν τὸν Σωτῆρα, τὴν ὄντως Ἐσταυρωμένην ἀγάπην, δαψιλῆ χάριν εἴληφας, ἀνθρώποις παρέχειν τὰς ἰάσεις ἀφθόνως. Διὸ σήμερον τὴν μνήμην σου ἐπιτελοῦντες, σὺν αὐτῇ τοῦ τῆς ἀπαρχῆς τῶν θεολόγων Ἰωάννου, καὶ Ἀρσενίου τοῦ ἀκροθίνιου τῶν μονοτρόπων, ἀξιοχρέως μεγαλύνομεν, τὸν σὲ δοξάσαντα Κύριον.

Εἶτα οἱ Κανόνες· τῆς Ἑορτῆς, εἷς ἐκ τοῦ Μηναίου καὶ τοῦ Ἁγίου ὁ προεόρτιος, οὗ ἡ ἀκροστιχίς: *Προεόρτιον ὕμνον Νικολάῳ προσφέρω. Χαρ.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Προσᾴδειν εὐφρόσυνον, ὕμνον τρισμάκαρ Νικόλαε, Βουνένων ἀπαύγασμα, καὶ ἀθλητῶν καλλονή,

καταξίωσον, κἀμὲ τὸν σὸν ἱκέτην, τὸν σπεύδοντα πάντοτε, τῇ μεσιτείᾳ σου.

Ῥωννύμενοι Ἅγιε, ταῖς σαῖς ἀόκνοις ἐντεύξεσι, πρὸς Κτίστην σοὶ κράζομεν· χαῖρε παθῶν ἰατρέ, χαῖρε πέλαγος, παντοίων ἰαμάτων, θεόφρον Νικόλαε, πίστεως ἔρεισμα.

Ὁσίων ἰσότιμε, καὶ ἀθλητῶν ἰσοστάσιε, τὸ σὸν θεῖον φρόνημα, καὶ εὐσταθὲς τῶν ἠθῶν, ἐξετίμησε, ὁ ἄναξ καὶ Λαρίσης, σὲ τάχος ταξίαρχον, Μάρτυς διώρισεν.

Ἐπέστη τῆς μνήμης σου, ἡ προεόρτιος σύναξις, σοφὲ Ὁσιόαθλε, καὶ συγκαλεῖ τοὺς πιστούς, πρὸς ἀνύμνησιν, τῶν θείων σου σκαμμάτων, καὶ τῆς παῤῥησίας σου, μάκαρ Νικόλαε.

Θεοτοκίον .

Ὁ Λόγος ἐν μήτρᾳ Σου, σκηνώσας Μῆτερ θεόνυμφε, αὐτὴν μύρου εἴργασται, δοχεῖον χρυσοφαές. Διὸ κράζομεν · Κυρία Θεοτόκε, ἀτίμητον κόσμημα, πέλεις τοῦ σύμπαντος.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ῥηξήνωρ ταξίαρχος ἐπώφθης, ἐνάρετος καὶ θεοφιλής, Νικόλαε ἀοίδιμε. Διὸ καὶ πάντας ἴθυνας, τοῖς σοφωτάτοις λόγοις σου, πρὸς τοὺς λειμῶντας τῆς χάριτος.

Τῆς σῆς πολιτείας τὸ γενναῖον, καὶ γνώμης τὸ ἄγαν ἐμβριθές, θαυμάζοντες οἱ ἄνδρες σου, τιμῇ σὲ περιέβαλλον, καὶ τὸν Χριστὸν ἐδόξαζον, τὸν σὲ αὐτοῖς ἀποστείλαντα.

Ἰδοὺ τῷ πανσέπτῳ σου τεμένει, χορεῖαι συντρέχουσι πιστῶν, προεορτίως ᾄδουσαι, τὴν παναγίαν μνήμην σου, καὶ τοὺς ἐνδόξους ἄθλους σου, ἀνευφημοῦσαι Νικόλαε.

Θεοτοκίον .

Ὁλόφωτον ἥλιον τῆς δόξης, τὸν μόνον Θεάνθρωπον Χριστόν, ὑπερφυῶν κυήσασα, παντὶ τῷ κόσμῳ ἔλαμψας, ταῖς νοηταῖς τῆς χάριτος, Αὐτοῦ ἀκτῖσι Μητρόθεε.

Κάθισμα. Ἦχος γ΄. Ἐπεφάνης σήμερον.

Μνήμην σου τὴν πάντιμον, προεορτίως, τοῦ Χριστοῦ Νικόλαε, ἀνευφημοῦντες Ἀθλητά, ἀναβοῶμεν ἀξίωσον, ἡμᾶς πρεπόντως, τιμᾶν σε ἑκάστοτε.

Δόξα.

Μαθητὰ τοῦ Κτίσαντος, ἠγαπημένε, Ἰωάννη ἔνδοξε, σὺν Ἀρσενίῳ τῷ σοφῷ, Χριστὸν ἡμῖν ἀστασίαστον, εἰρήνη πᾶσι, διδόναι ἱκέτευε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Μῆτερ Πάναγνε, τοῦ Βασιλέως, χαῖρε μέγα στήριγμα, τῶν προσφευγόντων εὐλαβῶς, τῇ ἀῤῥαγεῖ προστασία Σου, χαῖρε ἁπάντων, βοήθεια Δέσποινα.

ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Νέφη πάνδεινα ἐλαύνεις, ἀφ᾽ ἡμῶν τῇ ἰσχύϊ σου, ὁ τὰ τῶν Ἀράβων, στίφη ἀντικρούσας στεῤῥότατα, τὰ Θετταλίας χωρία ἐρημώσαντα, καὶ προσκούσαντα, τῇ ἀῤῥαγεῖ ἀντιστάσει σου.

Ὕμνον μέλπει γηθοσύνως, ὁ λαὸς προεόρτιον, τῆς Ἑλλάδος πάσης, τῇ σῇ ἑορτῇ καὶ εἰκόνα σου, τὴν χαριτόβρυτον πίστει λιτανεύων νῦν, τὸν δοξάσαντα, σὲ ἀνυμνεῖ μόνον Κύριον.

Μεθοδεύσας τῆς Λαρίσης, τὴν ἐκκένωσιν ὥδευσας, πρὸς τὸ τοῦ Τυρνάβου, ὄρος ὅπερ ἦν ἐνδιαίτημα, ἀνδρῶν ἀζύγων Νικόλαε τρισένδοξε, ἀσιτίᾳ τε, καὶ προσευχῇ δαπανώμενος.

Θεοτοκίον .

Νεῦσον ταῖς τοῦ Σοῦ ἱκέτου, παρακλήσεσι Πάναγνε, καὶ τῆς τοῦ θανάτου, συμφορᾶς ταχύ με ἀπάλλαξον, ἡ τὴν Ζωὴν συλλαβοῦσα τὴν αἰώνιον, τὸν ζωήῤῥυτον, καὶ ὑπεράγαθον Κύριον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ὀτρύνας τοὺς ἄνδρας σου, πρὸς σθεναρὰν ἐνάθλησιν, καὶ ἐνθεὶς ἐκείνων ταῖς καρδίαις, Χριστοῦ ἀγάπην πρὸς τὰς ἐπάλξεις εὐθύς, ἐξῆλθες Νικόλαε σοφέ, σὺν αὐτοῖς μαχόμενος, εὐθαρσῶς ὑπὲρ πίστεως.

Νικήσαντες φρύαγμα, τὸ τῶν Ἀράβων ἤρθητε, Μιχαὴλ πρὸς κήπους εὐφροσύνης, καὶ Χριστοφόρε σὺν τῷ Αἰμιλιανῷ, Δημήτριε θεῖε καὶ στεῤῥέ, ἀθλητὰ Παγκράτιε, γενναιότητος πρόβολοι.

Νῦν χαίρετε Μάρτυρες, τοῦ Νικολάου σύναθλοι, ἐν τῷ οὐρανίῳ τῷ νυμφῶνι, σὺν Εὐωδίῳ καὶ Θεοδώρῳ κλεινῷ, Γρηγόριε θεῖε ἀριστεῦ, Παντολέον εὔψυχε, καὶ Ἀκίνδυνε πάνσοφε.

Θεοτοκίον .

Ἱλάσθητι Δέσποινα, τοῖς πίστει τὴν λοχείαν Σου, ὕνους ἐξυφαίνουσιν εὐήχοις, ἐκ Σοῦ γὰρ σάρκα, ὁ Λυτρωτὴς τοῦ παντός, παντέλειος Κύριος ἡμῶν, ἔλαβε καὶ ἔδειξε, Σὲ καθέδραν χρυσόπλοκον.

Ωδὴ στ΄. Τὴν θείαν ταύτην.

Κακίαν Μάρτυς ἠφάνισας, ἀθέων πολεμίων καὶ εἴληφας, σὺν Ἁρμοδίῳ τε, καὶ τῇ λοιπῇ συνοδείᾳ σου, στεφάνους αἰωνίου, μακαριότητος.

Οὐκ ἄξιον τῶν θαυμάτων σου, τὸ ἄμετρον σιγᾶν παναοίδιμε, σοφὲ Νικόλαε, ἅπερ τελεῖς τοῖς προστρέχουσι, σῇ σκέπῃ καὶ αἰτοῦσι, τὴν μεσιτείαν σου.

Λαρίσης ὤφθης ὑπέρμαχος, καὶ πάσης τῆς Ἑλλάδος κραταίωμα, σοφὲ Νικόλαε. Διὸ καὶ νῦν σου τὴν ἄθλησιν, προεορτίως πάντες, πανηγυρίζομεν.

Θεοτοκίον .

Ἁγνείας Μῆτερ κειμήλιον, καὶ πάνσεπτον μητέρων ἀγλάϊσμα, σὲ μεγαλύνομεν, ἐκ σοῦ γὰρ ἐν κόσμῳ ἔλαμψεν, ὁ τῆς δικαιοσύνης, φωσφόρος ἥλιος.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ προεόρτιον πανήγυριν ἄγωμεν τοῦ Ὁσιομάρτυρος Νικολάου τοῦ ἐν Βουνένοις τῆς Θετταλίας ἀθλήσαντος καί τῶν συνάθλων αὐτοῦ.

Αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ὡς τῷ σώματι, γενναῖος καὶ χρησάμενος, κλεινὲ Νικόλαε, ἀνδρείᾳ ἐκ τοῦ ἐχθροῦ, διέδρας τῶν τάξεων, καὶ πρὸς τὰ Βούνενα, μάκαρ ἔφυγες, ἐν οἷς ἀζύγων τάξεσι, προσεχώρησας ἀσμένως.

Πλήρης χάριτος, οἰκήσας ἐν τοῖς ἄλσεσι, δρυσὶ σκεπόμενος, ὡς ἡσυχίαν φιλῶν, ἀΰλως ἐβίωσας, καὶ πάθη βρότεια, καθυπέταξας, τῷ πνεύματι Νικόλαε, μονοτρόπων μαργαρῖτα.

Ῥῦσαι ἅπαντας, ἐπιφορῶν καὶ θλίψεων, τοὺς εὐφημοῦντάς σε, ὥσπερ ὁπλίτην Χριστοῦ, γενναῖον Νικόλαε, καὶ ὕμνοις πρέπουσι, προεόρτιον, σοὶ ἄγοντας πανήγυριν, νέε Μάρτυς τοῦ Κυρίου.

Θεοτοκίον .

Ὁ ὑπέρφωτος, Θεὸς ἡμῶν καὶ Κύριος, Σὲ ἐμεγάλυνε, κατασκηνώσας ἐν Σοί, Μητρόθεε Δέσποινα, καὶ κρήνην χάριτος, ἀναβλύζουσαν, σωτηριώδη νάματα, Σὲ ἀνέδειξε Παρθένε.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Σέβας καὶ πνοή μου ὁ Δεσπότης, ὑπάρχει Χριστὸς τοῦ σύμπαντος ὁ Κύριος, παῤῥησίᾳ ἔλεγες, τοῖς ἐχθροῖς Νικόλαε, τοῖς κολακείαις πρότερον, θωπείαις ὕστερον, τὸ εὔτονον ψυχῆς σου μαλάξαι, ἀποπειραθεῖσι, κλεινὲ Ὁσιομάρτυς.

Φέρειν ἄχρι τέλους νικηφόρον, ἐπέτυχες σὸν ἀγῶνα θείᾳ χάριτι, εὐσταλὲς Νικόλαε, ἐν Βουνένων ἄλσεσι, καὶ τῇ ἰδίᾳ λόγχῃ σου, τρωθεὶς ἀοίδιμε, ὑπὲρ τῶν

παρανόμων Ἀράβων, πρὸς τὴν ἄνω πόλιν, μετέστης στεφηφόρος.

Ἔχων τὸ σὸν βλέμμα ἐστραμμένον, πρὸς ὅν ἐπεπόθεις μόνον Παντοκράτορα, πόνων κατεφρόνησας, καὶ ὡς ὁ Δεσπότης σου, ποτὲ τὴν πεῖραν εἴληφας, ἰδίας λόγχης σου. Διὸ καὶ μαρτυρίου τὰς τρίβους, ἤνεγκας ἀσμένως, τρισόλβιε εἰς τέλος.

Θεοτοκίον .

Ῥάθυμον ἱκέτην μὴ παρίδῃς, Παρθένε, τῶν Ἀθλοφόρων ἀγαλλίαμα, καὶ ἀζύγων καύχημα, ἀλλὰ ψυχῆς ἐγρήγορσιν, παράσχου μοι καὶ σῶσόν με, Μῆτερ ἀνύμφευτε, ταῖς Σαῖς πρὸς τὸν Υἱόν Σου πρεσβείαις, τὸν ἐν τῇ παλάμῃ, κατέχοντα τὸν κόσμον.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ὢ τῆς ἱερᾶς, σοφὲ πολιτείας σου, καὶ τῶν θαυμάτων σου, ἀθλητὰ Νικόλαε, Θεσσαλονίκης ὁ Δοὺξ ἐφώνησεν, εὐθὺς ὡς δῶρον ἔλαβεν, αὐτοῦ τὴν ἴασιν, πρὸ τοῦ σκήνους, τοῦ σεπτοῦ σου Ἅγιε, ὅ ἀνεῦρεν ἐν μέσῳ τῶν ἄλσεων.

Χόρευε τερπνῶς, Βουνένων περίοικος, καὶ πᾶσα σκίρτησον, Θετταλία χαίρουσα, προεορτίους ᾠδὰς προσφέρουσι, τῷ ἀσκητῇ καὶ Μάρτυρι, τῷ καταυγάζοντι, τῆς Ἑλλάδος, ἅπαντα τὰ πέρατα, Νικολάῳ τῷ χάριτας βρύοντα.

Ἄθλους τοὺς σεπτούς, τρισμάκαρ Νικόλαε, οὕσπερ ὑπήνεγκας, ἀνυμνοῦντες λέγομεν· χαῖρε Ὁσίων τὸ ἐγκαλλώπισμα, χαῖρε Μαρτύρων πρότυπον, χαῖρε

ἀστείρευτε, ἰαμάτων, κρήνη ἡ προχέουσα, ὑγείας πολύῤῥοα νάματα.

Θεοτοκίον .

Ῥάβδον τε Σκηνήν, καὶ Τράπεζαν ἔγνωμεν, Σὲ Ἀειπάρθενε, Κιβωτόν τε Κλίμακα, Λυχνίαν Στάμνον, Νεφέλην Κάμινον, χρυσοῦν Θυμιατήριον, καὶ Πύλην Ἄσπιλε, κεκλεισμένην, ἥνπερ μόνος ἤνοιξεν, ὁ Σωτὴρ καὶ φιλάνθρωπος Κύριος.

Ἐξαποστειλάριον. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Τὴν παναγίαν μνήμην σου, προεορτίως ἄγοντες, πανηγυρίζομεν Μάρτυς, καὶ σὲ ἀσμένως τιμῶμεν, Νικόλαε θεσπέσιε, συνανυμνοῦντες ᾄσμασιν, τὸν φωταυγῆ Ἀρσένιον, καὶ μαθητὴν τὸν θεόπνουν, πανένδοξον Ἰωάννην.

Θεοτοκίον .

Τίς ἐξειπεῖν δυνήσεται, Σὰ μεγαλεῖα Δέσποινα, καὶ θαυμασίων τὸ πλῆθος, δι' ὧν αὐγάζεις τὸν κόσμον; Ἐκ Σοῦ γὰρ ὁ Θεάνθρωπος, βροτῶν τὴν σάρκα ἔλαβε, καὶ γένος τὸ ἀνθρώπινον, τὸ Σὲ ἀπαύστως γεραῖρον, ἐθέωσε Θεοτόκε.

Εἰς τοὺς Αἴνους. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἀστὴρ τηλαυγέστατος, τῇ Ἑλλάδι ἐπέλαμψεν, ὁ ἐκ τῆς Ἑῴας λαμπρὸς Νικόλαος, ὁ ἐν Βουνένοις στεῤῥότατα, ἀθλήσας καὶ χάριτας, ἰαμάτων ἐκ Θεοῦ, ὁ λαβὼν ὅν γεραίροντες προεόρτιον, νῦν πανήγυριν

ἄγομεν εὐσχήμως, καὶ Χριστὸν τὸν Ζωοδότην, πανευσεβάστως δοξάζομεν.

Τῶν Ὁσίων ἐφάμιλλε, Ἀθλοφόρων ὁμόσκηνε, τὴν φαιδρῶς προλάμπουσαν θείαν μνήμην σου, ἐν οἰκουμένης τοῖς πέρασι, φαιδρῶς ἑορτάζομεν, καὶ βοῶμεν Ἀθλητά, ἑορτήν σου τὴν πάντιμον, καταξίωσον, ἐν εἰρήνῃ ψυχῆς πανηγυρίσαι, καὶ τιμῆσαί σε πρεπόντως, Ὁσιομάρτυς Νικόλαε.

Στρατιῶτα ἀήττητε, τῆς Χριστοῦ παρατάξεως, τὴν σὴν προεόρτιον μνήμην ἄγοντες, ὥσπερ προστάτην θερμότατον, ἡμῶν καὶ ταχύτατον, ἀντιλήπτορα πιστῶς, εὐφημοῦμεν καὶ Κύριον, τὸν φιλάγαθον, ἀνυμνοῦμεν τὸν σὲ ἐν τῷ σταδίῳ, τῶν τιμίων σου ἀγώνων, πολυειδῶς κραταιώσαντα.

Ὢ Τριὰς ὑπερθαύμαστε, μυροχεῦμον Νικόλαε, Ὁσιομαρτύρων τὸ ἀκροθίνιον, καὶ Ἰωάννη θεόπνευστε, Ἀπόστολε ἔνδοξε, φίλε γνήσιε Χριστοῦ, σύν Ὁσίων καυχήματι, τῷ θεόφρονι, Ἀρσενίῳ πιστῶς ὑμᾶς ὑμνοῦμεν, ὡς Τριάδος ὑπηρέτας, καὶ Ἐκκλησίας ἐρείσματα.

Δόξα. Ἦχος πλ. α’.

Τὸν σοφὸν ἐν διδαχαῖς, στεφηφόρον Ἀθλητὴν Νικόλαον τὸν νέον, τὸν λόγχῃ τὴν πλευρὰν αὐτοῦ νυγέντα, ὡς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐπαινέσωμεν λέγοντες· ὤ Νικόλαε πανένδοξε, ὡς τῆς αἰωνίου νῦν δόξης ἀπολαύων, σὺν Ἰωάννῃ τῷ Θεολόγῳ, καὶ Ἀρσενίῳ τῷ θείῳ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τᾶς ψυχᾶς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάρια.
Τοῦ Ὁσιομάρτυρος Νικολάου.
Ἄστρον τῆς Ἑλλάδος χρυσοφαές, κλέϊσμα Βουνένων, μονοτρόπων καὶ Ἀθλητῶν, γέρας τὴν σὴν μνήμην, προεορτίως ἄγει, ἡ φιλεόρτων τάξις, Μάρτυς Νικόλαε.
Τοῦ Εὐαγγελιστοῦ Ἰωάννου.
Χαίροις θεολόγων ἡ ἀπαρχή, μάκαρ Ἰωάννη, κεκλημένε υἱὲ βροντῆς, χαῖρε τοῦ Κυρίου, ἠγαπημένε φίλε, θεοπνευστίας στήλη, καὶ βάθρον πίστεως.
Τοῦ Ὁσίου Ἀρσενίου τοῦ Μεγάλου.
Βίον ἐν ἐρήμῳ ἀσκητικόν, ἤγαγες θορύβους, παλατίου καταλιπών, γνώσεως σοφίας, καὶ ἤθους ἐκμαγεῖον, διδάσκαλε θεόφρον, μάκαρ Ἀρσένιε.

